Λεϊβνίτιος ἀξιοῖ, τεθέντος τȣ̃ ὁλοσχερȣ̃ς τε ϗ πεπληρωμένȣ λόγȣ τȣ̃ ἀποχρῶντος, τίθεσθαι ἅμα ὁλοσχερὲς ϗ τὸ ἐξ ἐκείνȣ ἑπόμενον, ἅπαντες δῆθεν οἱ 2000000, διορισμοὶ-ἅμα ὑπάρξȣσιν. Ἀλλ᾽ ἀποχρέμπτομαι. Εἰ δὲ τὸ Β΄., ὁλοσχερής τε ϗ πλήρης ὁ λόγος οὗτος καθίσαται ἐξ αὐτῆς τῆς φύσεως τῶν δυνάμεων; ἀλλ᾽ ἐπιῤῥοῇ τῇ παρὰ τῶν ἄλλων; ἀλλὰ Θεȣ̃ βȣλήματι; Τὰ γεμὴν ἔσχατα τῶν Σχολαςικῶν ἐςὶ καὶ Καρτεσιανῶν, ἃ Λεϊβνιτίῳ δοκεῖ ψευδῶς ἔχοντα. Τὸ δὲ πρότερον λόγῳ τελεῖται ἀποχρῶντι ἑτέρῳ τινὶ, ἢ μηδενί; Ἀπαντῶσι (1) τὰς ἐνεργείας τȣ̃ νȣ̃ αἰτίας γίνεσθαι διοριςικὰς μεταφυσικὰς μὲν, φυσικὰς δ᾽ ȣ̃. Βαβαὶ τῆς κενολεξίας! Τί δὲ αἱ μεταφυσικαὶ αὗται ἐπενεργȣ̃σι τῷ σώματι; ἢ μὴ, ἀφορμαὶ δὲ ψιλαὶ καθίςανται τȣ̃ τὸ θεῖον ἐπενεργῆσαι αὐτῷ τȣτῳ τῷ σώματι; ἢ μηδέτερον; Ῥᾴδιον συνιδεῖν ὅσαις πάγαις ἁλίσκονται οἱ τȣ̃ συςήματος τȣτȣὶ προϊςάμενοι.

## ΚΕΦΑΛ. Γ΄.

## Περὶ ἰδεῶν Φύσεως καὶ Ἀρχῆς.

### Πρότ. ΚΗ΄.

„Οὐ δύναται ἡ ψυχὴ αὐτὴ ἑαυτῇ δημιȣργικὴ αἰτία τυγχάνειν τῶν ἁ-
„πλῶν ἰδεῶν.

### Δεῖξις.

Αἱ γὰρ ἰδέαι εἰσὶν εἴδη τῶν εἴτε ὑφεςώτων, εἴτε καὶ δυνατῶν (ὁρ. ε΄.), ϗ παριςᾶν ἄρα πεφύκασι τὰς πραγματιώδεις οὐσίας τῶν ὧν εἰσὶ παραδείγματα. Εἰ γȣ̃ν καθ᾽ ἑαυτὴν ἡ ψυχὴ παρῆγε ταύτας, ὤφειλε τῷ ὄντι εἰδέναι τὰς πραγματιώδεις οὐσίας, αἷς ἂν ἀπεργάσετο σύμφωνα τὰ εἴδη. Εἰ μὴ γὰρ, ἦν ἂν τὸ αἰτιατὸν ἄνευ τȣ̃ λόγȣ τȣ̃ ἀποχρῶντος, ὅπερ ȣ̓κ ἔνι (πρῶτ. μέρ. Πρ. Ζ΄.). Εἰ δὲ εἰδήει, εἶχεν ἂν τὰς ἰδέας ϗ πρὶν ἔχειν. Ὅπερ ἀδύνατον.

### Σχόλιον.

Διά τοι τȣ̃το καὶ ὁ τὰς ἁπλᾶς τῶν χρωμάτων ἰδέας μὴ φέρων, οὐδενὶ τρόπῳ δύναται αὐτὰς λαβεῖν ἐκ μαθήσεως. Ἀδυνατεῖ γὰρ δήπȣ ψυχὴ τὰς ἁπλᾶς ἰδέας ἑαυτῇ παράγειν, οἷα δὴ ϗ γραφεὺς τȣ̃ ἀγνοȣμένȣ εἰκόνα γρά-

(1) Οὕτω Βιλφιγγέριος.

ΙΩΑΝΝΙΝΑ 2006

ψαι ὀ δύναται. Κἂν δὲ δοίημεν καὶ γράφειν ἔχειν, ἀλλ' οὐκ ἂν οἷά τε ᾖ βεβαίως τε καὶ μετὰ ἀσφαλείας εἰδέναι, οὕτω καὶ καθ' ἑαυτὰ ἔχειν τὰ πράγματα. Τοιγαροῦν ἐωλός τις καὶ ἐπισφαλὴς ἦν ἂν πᾶσα ἡμῶν ἡ γνῶσις, εἰ παρ' ἑαυτῆς ἡ ψυχὴ ἑαυτῇ ἐξεικόνιζε τῶν ὄντων τὰς ἁπλουστέρας ἰδέας.

## Πρότ. ΚΘ'.

„Εἴπερ ταυτὸν τεθῶσιν ἰδέα τε καὶ ἀντίληψις, δυοῖν θάτερον ἕψεται, ἢ „ὅτι ὑποκείμενον τυγχάνει οὖσα ἁπλῶς παθητικὸν τῶν ἰδίων διανοήσεων, ὡς „καὶ κηρὸς τῶν τύπων, ἢ ὅτι ἁπάσας ἀφ' ἑαυτῆς, ἃς ἔχει ἰδέας, ἑαυτῇ παράγει.

## Δεῖξις.

Ἢ γὰρ ἐπιδέχεται τὰς ἰδέας, ἢ μή. Ἀλλ' εἰ μὲν, ἐπεὶ (καθ' ὑπόθ.) ἐκεῖναι αἱ αὐταὶ εἰσὶν ἀντιλήψεις, ἐπιδέξεται δήπουθεν καὶ τὰς διανοήσεις ἁπάσας, οἷάπου καὶ κηρὸς τὰς ἐντυπωμένας σφραγῖδας, ᾗ Καρτεσίῳ δοκεῖ. Εἰ δὲ μὴ, ταύτας ἄρα (ἐπεὶ ἄνευ αἰτίου οὐκ ἂν εἶεν) ἑαυτῇ παράγει.

## Πρότ. Λ'.

„Οὐ δοκεῖ τὰς ἰδέας καὶ ἀντιλήψεις τὸ αὐτὸ εἶναι.

## Δεῖξις.

Εἰ γὰρ εἰσὶ ταυτὸν, ἢ ἁπλῶς παθητικὸν ἔσται ὁ νοῦς ὑποκείμενον ὧν ἔχει διανοήσεων, ἢ τὰς ἰδέας ἑαυτῇ παράγει (διὰ τὴν ἀνωτ.). Ἀλλ' εἰ μὲν τὸ Α'., οὐδὲ ζῶν ἔσται ὁ νοῦς (ὁρ. ι'.), καὶ οὐδὲ μᾶλλον νοῦς, ἢ πλινθία τις ὠμὴ, ἢ τι παραπλήσιον, ἀδρανὴς ὢν, καὶ μόνον τῶν ὑπὸ ἀρχῆς ἄλλης ἐνεργητικῆς δεκτικὸς, ὅπερ ἄτοπον. Εἰ δὲ τὸ Β'., ἄτοπον οὐδὲν ἧττον ὅπερ ἕπεται (Πρ. ΚΗ'.). Ἄρα κτ.

## Σχόλιον.

Δεινὸν περὶ τούτου νεῖκος ἤρθη μεταξὺ Μαλεβραγχίου τε καὶ Ἀρνάλδου, τοῦ μὲν ἁπάσας τὰς ἰδέας τῶν τε ἀντιλήψεων διακρίνοντος, καὶ οἱονεὶ εἰκόνας τινὰς, καὶ παραδείγματα, καὶ ᾗ φησὶν ὄντα παραστατικὰ ἡγουμένου, οὔκουν ἔμφυτα δήπουθεν, ἀλλ' ὑπὸ Θεοῦ ἐν τῇ ἰδέᾳ καὶ τῷ φωτὶ αὐτοῦ κατὰ μετοχὴν τῇ ψυχῇ κοινωνούμενα· τοῦ δὲ τοὐναντίον ἀπισχυριζομένου ἐν ᾗ γαλλιστὶ συγγέγραφε βίβλῳ περὶ ἀληθῶν τε καὶ ψευδῶν ἰδεῶν, ἐν Κολονίᾳ τύποις ἐκδοθείσῃ ἔτει αχπγ'. καὶ γεωμετρικῇ μεθόδῳ τὴν πρότασιν, ὅτι αἱ ἰδέαι τῶν ἀντιλήψεων οὐδενὶ ἄλλῳ τρόπῳ διακρίνονται, εἰμὴ κατὰ σχέσιν, ὅτι ἀντίληψις ἀκούει πρὸς τὸν νοῦν ἀναφερομένη, ἰδέα δὲ πρὸς τὰ ἀντικείμενα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. ΑΑ τηςΚ τ.π. ΙΩΑΝΝΙΝΑ 2006

ἐπαγγελλομένου δεῖξαι διὰ δέκα καὶ τριῶν ὁρισμῶν, ὀκτὼ δὲ ἀξιωμάτων, ἑπτὰ δὲ αἰτημάτων καὶ πέντε ἀποδείξεων. Τὰ γεμὴν τοῦ Ἀρνάλδου ἐπιχειρήματα οὐδέποτέ μοι, τἀληθὲς εἰπεῖν, τηλικούτου ἀνδρὸς ἔδοξεν ἄξια. Τούτων ἐν μὲν τῷ πρώτῳ καὶ δευτέρῳ ἓν τοῦτο δεῖξαι ἐπείγεται, τὸν Μαλεβράγχιον τὸ ἐν ἀρχῇ αἰτεῖσθαι σχολαστικῶς φάναι, καὶ ἀσαφῆ καταβάλλειν καὶ εὐπερίτρεπτα, ὑποτιθέμενον μηδένα δύνασθαι νοεῖν ἐν ἑαυτοῖς τὰ ἐκτὸς νοητά. Ἀλλὰ τούτου τί ποτ' ἂν γένοιτο ἀριδηλότερον; Εἰ γὰρ αἱ ἀντιλήψεις ἔμμονοί τε εἰσὶ τῇ ψυχῇ καὶ οὐσιώδεις, ὅπερ οὐδ' αὐτὸς ἀπαναίνεται Ἀρνάλδος, ἀνάγκη πᾶσα ἐν ἑαυτῇ νοεῖν ὅσα νοεῖ, ἐν δὲ τοῖς νοητοῖς οὐκ ἂν ἔχοι, μὴ τούτων ἐν τῇ ψυχῇ αὐτῇ εἰδικῶς περιεχομένων, ἢ γοῦν ἐκείνης τοῖς πράγμασιν αὐτοῖς τοῖς ἐκτὸς ἐνδομύχως παρούσης. Ἐπεὶ δὲ ταῦτα οὐδὲ Ἀρνάλδῳ δοκεῖ, ἑπόμενον ἄρα τὴν ψυχὴν ἐν ἑαυτῇ τῶν νοητῶν ἀντιλαμβάνεσθαι. Ἀλλὰ τοῦτο πῶς ἂν ἰσχύσειεν, εἰμὴ ἀφ' ἑαυτῆς τὰς εἰκόνας παράγουσα, ἢ ὑφ' ἑτέρου ὑποδεχομένη; Τὸ γεμὴν ἀφ' ἑαυτῆς παράγειν τὰς τῶν ἀγνοουμένων εἰκόνας οὐδεὶς ἂν ὑγιὴς τὰς φρένας δῴη. Εἰ τοίνυν ἐπιδέχεται, ἀντιλήψεις αὗται οὐκ ἔσονται, εἰ μὴ δεήσῃ ἅπασαν ἄρδην ἀναιρεῖν τὴν ψυχῆς φύσιν, ὡς δέδεικται.

Ἀλλ' ἀντιφέρει Ἀρνάλδος (1), ὡς πλεῖστα τῶν ἐκτὸς, καὶ αὐτῶν δὴ τῶν ἀπωτάτω, οἷον σελήνην, ἥλιον, ἀστέρας ὁ νοῦς νοεῖ· ἀπὸ δὲ τοῦ ἐνεργείᾳ ἐπὶ τὸ δυνάμει ἀναγκαίως ἐπιβάλλειν ἐστίν. Ἄρα ὁ νοῦς δύναμιν ἔχει τοῦ νοεῖν τά τε ἐκτὸς ἑαυτοῦ, καὶ τὰ ἀπωτάτω, καὶ ἄνευ τῶν Μαλεβραγχίου παραδειγμάτων. Οὐδὲν χεῖρον ἐπιφερόμενον εἶδον ποτὲ ἐξ ἀρχῶν ἀσφαλῶν. Πυνθάνομαι γὰρ πότερον αἱ κατ' Ἀρνάλδον ἀντιλήψεις αὗται, σελήνης, καὶ ἡλίου, καὶ ἀστέρων, περιέχουσιν ἄρα τῶν τοιούτων σωμάτων τὸ εἶναι τὸ πραγματιῶδες, ἢ νοητόν; δίδωσιν· ἰδέαι ἄρα εἰσίν. Ἀλλ' αἱ ἀντιλήψεις αὗται 'κ τῆς φύσεως αὐτῆς τῆς ψυχῆς, ἤτοι ἐκ τῆς διανοητικῆς αὐτῆς δυνάμεως ἐκπηγάζουσι. Τοιγαροῦν ἡ ψυχὴ ἁπάσας αὐτῆς τὰς ἀντιλήψεις οὐχ ὅπως, ἀλλὰ καὶ τὰς ἰδέας παράγει. Εὖ οὖν ἔχει. Ἀλλ' ἤδη ἀποδοτέον δὴ Ἀρνάλδῳ τὸν ἀποχρῶντα λόγον τοῦ νοητῶς πραγματιώδους λόγου τῶν ἀντιλήψεων. Τί τοίνυν; ἡ τοῦ ἐγκεφάλου ὑπὸ τῶν ἐκτὸς σωμάτων κίνησις ἔσται; Ἀλλ' ὑπ' ἐκείνων ὁ νοῦς οὐκ ἂν ἔχει διατεθεῖναι. Ἀλλ' ὁ Θεός; Ἀλλ' Ἀρ-

(1) Ἀντ. σελ. 66. κτ.



ΙΩΑΝΝΙΝΑ 2006

νάλδῳ ἐ δοκεῖ. Ἀλλ' αὐτὴ δὴ ἡ νοητικὴ δύναμις; Ἀλλὰ γὰρ ἐπειδὴ αὕτη πρὸς ἐδὲν διωρισμένως ἔχει τῶν νοητῶν, δυνήσεται ἑαυτῇ παραγαγεῖν ἐχ ἧττον ϗ τὰς ἰδέας τῶν ἐν τοῖς περὶ τὸν ἥλιον σφαίροις, τοῖς λίαν πορρωτάτω ἡμῶν ἀφεςῶσι, ϗ τοῖς περὶ τῶν ἀπλανῶν ἀςέρων ἑκάςοις, εἴτινες εἰσὶν, ὅ τισι τῶν ἀρχαιοτέρων καὶ νεωτέρων ἀςρονομέντων ὑπείληπται. Πολλὰ δὲ καὶ ἄλλα τέτοις ἐοικότα ἐπιβαλών τις, τῷ Ἀρνάλδε ἀνθυπενεγκεῖν δυνήσεται ἐπιχειρήματι.

Καὶ ἡ τρίτη δὲ Ἀρνάλδε δεῖξις, ἀσαφείας ὁμοίως Μαλεβράγχιον αἰτιᾶται, ἐδὲν γενναῖον ἐπιφέρεσα. Ἡ δὲ τετάρτη ὕτως ἔχει. „Ἐπεὶ Θεὸς τὴν „ψυχὴν συνῆψε τῷ σώματι, περὶ ὃ τοσαῦτα ἐςὶ πρός τε εἶναι ϗ ζῆν ἀναγ„καίως τείνοντα, ἐκ ἔςι πιθανὸν μὴ βεληθῆναι παραχεῖν ἐκείνῃ δύναμιν τῦ „ἐπιγιγνώσκειν αὐτὰ ὁδῷγε τῇ ἁπλεςάτῃ ϗ ἐπιτομωτέρᾳ. Ἡ δὲ ὁδὸς αὕ„τη τυγχάνει τῦ γιγνώσκειν αὐτὰ ἄνευ τῶν τοιέτων ἰδεῶν, τῶν διακεκρι„μένων τῶν ἀντιλήψεων." Οὕτως ἐπιτομωτέραν τε ϗ ἁπλεςέραν εἶναι πείθεται τὴν ὁδὸν ταύτην Ἀρνάλδος οἱασῦν ἄλλης, εἴτε γινωσκομένης ἡμῖν, εἴτε ϗ ἀγνοεμένης. Τῦ γεμὴν λόγε τέτε τίς ποτε ἡ δύναμις; οὐδεμία. Πάντως ἐδεὶς ἂν ἐπαρνήσαιτο τῇ ψυχῇ δύναμιν τῦ νοεῖν τὰ ἐκτὸς αὐτῆς. Ἀλλὰ γῦν ἐκείνης ὑποτιθεμένης, ὤφειλε δεῖξαι Ἀρνάλδος, δι' αὐτῆς καὶ ἄνευ ἰδεῶν τὴν ψυχὴν ἔχειν ἀντιλαμβάνεσθαι, εἰμὴ βέλοιτο παρακτικὴν ἑαυτῇ θέσθαι αὐτὴν τῶν περὶ τὰ νοητὰ πραγματιωδῶν λόγων, τῦτο δὴ τὸ ἀδύνατον. Τὰ γῦν λοιπὰ τῦ Ἀρνάλδε, ἅτε δὴ ἰσοσθενῆ τέτοις, ἢ κρεῖττον εἰπεῖν, ἐπίσης ἀσθενῆ, παροπτέα.

## Πρότ. ΛΑ'.

„Οὐδὲν, ὅτι μὴ ἐν ἑαυτῇ ἡ ψυχὴ περινοεῖν δύναται.

## Δεῖξις.

Αἱ ἀντιλήψεις ἐνέργειαι ψυχῆς εἰσὶ τῶν ἐμμόνων (Πρ. Ις'.), ϗ ταύτῃ ἄρα ἐγκείμεναι (αὐτ.)· οὐδαμῦ ἄρα εἶεν ἂν, εἰμὴ ἐν αὐτῇ τῇ ψυχῇ. Παρὰ ταῦτα, ϗ εἰ ἐκτὸς ἑαυτῆς νοεῖ ἡ ψυχὴ, νοήσει ἔνθα ἐκ ἔςι. Τῦτο δὲ ἢ ἐκροῇ τινι γενήσεται, ἢ μή. Ἀλλὰ τὸ μὲν Α'. τῇ φύσει τῆς ψυχῆς ἀντιλέγει, τὸ δὲ Β'. σημαίνει ἐδέν.

## Σχόλιον.

Θαυμάσειέ τις ϗ Νεύτωνα, ἄνδρα φύσεως ὀξύτητι διαφέροντα, τοιαῦ-

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΑΝΟΗΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΠ. ΥΠΕΥΘ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Ε. ΙΩΑΝΝΙΝΑ 2006

τα τινὰ, καίτοι ὡς ἐν παρόδῳ, ἀποφήνασθαι, δι᾽ ὧν ἔοικε τὴν ψυχὴν ἐν τῷ ἐγκεφάλῳ ἐφεδρεύειν ὑπειληφέναι, κἀν τούτῳ, ὡς ἐν οἰκείῳ αἰσθητηρίῳ, τὰς τῶν ὄντων ἐποπτεύειν εἰκόνας. Τί γὰρ τοῦτο ἐκείνῳ βούλεται; ἢ ταύτας ἀπὸ τοῦ ἐγκεφάλου πρὸς ἑαυτὴν ἑλκύειν, ὅπως καθ᾽ ἑαυτὴν ἐποπτεύσειε ϗ ἐν ἑαυτῇ; ἢ γοῦν τὰς ἑαυτῆς ἀντιλήψεις ἐκτὸς ἑαυτῆς, ϗ τῆς οἰκείας οὐσίας προβάλλειν; Ἀπὸ γοῦν τοῦ ἐγκεφάλου, οὐδὲν ὅτι μὴ σωματικὸν μεταβῆναι δυνήσεται, αἴτε ἀντιλήψεις, εἰμὴ ἐν τῇ ψυχῇ, οὐδαμοῦ ἂν εἶεν γιγνόμεναι. Ἐπὶ τούτοις οὐδὲ τοῦτο δῆθεν ἀνεκτὸν, τὸ λέγειν ἐν τῷ ἐγκεφάλῳ οἱονεὶ γεγραμμένας τὰς τῶν ὄντων εἰκόνας τὴν ψυχὴν θεᾶσθαι. Τὸν δὲ ἐγκέφαλον ἅμα μὴ βλέπειν, ὡς εἴτις καθορῶν τὰ ἐν τῷ πίνακι γεγραμμένα, αὐτὸν δὴ τὸν πίνακα μὴ ὁρώη. Τελευταῖον πῶς ἂν ἔχοι ψυχὴ ἐν τῷ ἐγκεφάλῳ βλέπειν τὰ χρώματα, ἐφ᾽ ὃν αἱ ἡλίου ἀκτῖνες, ἐν αἷς, ἢ δι᾽ ὧν τὰ χρώματα, οὐκ ἐφικνοῦνται, ἅτε δὴ ὁμολογουμένως ἄχρις αὐτῆς τῆς ἀμφιβληστροειδοῦς ἥκουσαι μεμβράνης, μηδὲ προσωτέρω χωροῦσαι, ἀλλ᾽ ἢ μόνης κινήσεως μεταδιδοῦσαι τῷ ἐγκεφάλῳ, τῷ μόνῳ εἰκονίσαι τὰ χρώματα μὴ δυναμένῳ; Ἢ ϗ ἄχρις ὀφθαλμῶν πρόεισιν ἡ ψυχή; Εἰ γοῦν, τί μὴ ϗ πρὸς ὦτα, ϗ στόμα, ϗ μυκτῆρας; ϗ εἰς χεῖρας δὲ ἔτι, ϗ πόδας, ϗ ἅπαν μέλος; Ἀλλ᾽ εἰ τοῦτο, εἶδος ἄρα ἔσται οὐσιῶδες, ϗ ἐντελέχεια τοῦ σώματος, ὅπερ οἱ νεώτεροι οὗτοι οὐ φέρουσι.

## Περιπατητικῶν δόξα περὶ ἀρχῆς ἰδεῶν.

## Πρότ. ΛΒ΄.

„Α΄. Περὶ ἰδεῶν ἀρχῆς διαφωνοῦσιν οἱ Περιπατητικοὶ πρὸς ἀλλήλους. Β΄. „ἡ κοινὴ φερομένη ἐν ταῖς σχολαῖς δόξα ἀβεβαίως τε ἔχει, ϗ λόγοις οὐ „κούφοις ἐστὶν ἀντιβαίνουσα.

### Δεῖξις.

Τῶν γὰρ Ἀράβων ϗ Μαύρων τινὲς οἴονται τὴν ψυχὴν παρ᾽ ἑαυτῇ ἔχειν τῶν πραγμάτων τὰ εἴδη, ἅτινα ὑπὸ τῶν ἐκτὸς πραγμάτων διεγείρεται μὲν (1), οὐ γεννᾶται δέ. Ὁ δὲ Ἄλβερτος ὁ μέγας ἔμφυτα μὲν εἶναι βούλεται τὰ εἴδη τῷ νῷ, ἀλλ᾽ ἢ οὐδέποτε, ἢ σπανίως τούτοις χρῆσθαι, ἐν ᾧ τῷ σώματι ἐστὶ συνημμένος (2). „Ἀβικέννας δὲ ἁπάντων τῶν ὄντων τῶν αἰσθητῶν τὰ νοε-

(1) Πίκος Τόμ. Α΄. σελ. 50.
(2) Αὐτ. σελ. 42.



Ε.Υ.Δ της Τ.Ι.Τ ΙΩΑΝΝΙΝΑ 2006

„ρὰ εἴδη προϋπάρχειν ἀΰλως ὑπέθετο ἐν τοῖς νόοις τοῖς κεχωρισμένοις, ὧν „ἀπὸ μὲν τοῦ πρώτου πρόεισι τὰ τοιαῦτα εἴδη ἐπὶ τῶν ἐφεξῆς, ϗ ἐπὶ τῶν ἄλ- „λων ὡσαύτως, ἄχρι τοῦ ἐσχάτου χωριστοῦ νοῦ, ὃν ἐνεργείᾳ νοῦν ἀποκαλεῖ, ἀφ' „οὗ, ὡς ἐκεῖνος φησὶν, ἐκπηγάζει τὰ νοητὰ εἴδη ἐπὶ τῶν ἡμετέρων ψυχῶν, „τὰ δὲ εἴδη τὰ αἰσθητὰ ἐπὶ τὴν ὕλην τὴν σωματικήν (1).“ Ὁ δ' Ἀκυνάτης ἀπελέγχει μὲν τὰ ἀνωτέρω, διδάσκει δὲ ἅπαντα ἡμᾶς ἐν τοῖς αἰωνίοις λόγοις τοῖς ἐν τῷ Θεῷ γιγνώσκειν (2). Ἐπεὶ δέτοι τὸ γιγνώσκειν τι ἔν τινι γένοιτ' ἂν δισσῶς, ἢ τοῦ Α φέρ' εἰπεῖν γινωσκομένου ἐν τῷ Β, ὡς ἐν ἀντικειμένῳ ἐγνωσμένῳ, ὃν δὴ λόγον, φησὶν, αἱ εἰκόνες ἐν τῷ κατόπτρῳ ὁρῶνται, ἢ τοῦ Α γινωσκομένου ἐν τῷ Β ὡς ἐν ἀρχῇ, καθάπερ ἐν τῷ ἡλιακῷ φωτὶ καθορᾶται τὰ χρώματα, ἐκείνως μὲν τοὺς μακαρίους ἅπαντα περινοεῖν βούλεται, ϗ τὸν Θεὸν αὐτὸν, ϗ ἐν τῷ Θεῷ τὰ λοιπὰ ἐποπτεύοντας, οὕτω δὲ τοὺς περιόντας ἔτι ἐν τῷ βίῳ ἡμᾶς, καθ' ὅτι γε τὸ φῶς τῆς ἀνθρώπου διανοίας κατὰ μετοχήν ἐστιν ἀπὸ τοῦ αἰωνίου φωτὸς τοῦ Θεοῦ, ἐν ᾧ δὴ φωτὶ οἱ αἰώνιοι οὗτοι λόγοι ἐμπεριεχόμενοι εἰσί. Παρέλαβε δὲ τὴν διδασκαλίαν ταύτην ὁ Ἀκυνάτης ὑπὸ Αὐγουστίνου. Ἐπεὶ δὲ ὁ ἱερὸς οὗτος ἀνὴρ τοὺς αἰωνίους τουτουσὶ λόγους ἀντὶ τῶν Πλατωνικῶν ἰδεῶν εἰσεποιήσατο, φανερὸν ὅτι οὐδὲν ἄλλο εἰσὶ κατ' αὐτὸν, ὅτι αἱ κατὰ μετοχὴν ὑπὸ Θεοῦ παροῦσαι τῇ ψυχῇ ἰδέαι. Καὶ αὕτη μὲν ἡ κατ' αὐτοὺς ἰδεῶν ἀρχή τε ϗ φύσις. Ἀλλὰ γὰρ ὁ Ἀκυνάτης ϗ πρὸς ἑαυτὸν διαστασιάζων, τὴν νοερὰν γνῶσιν ἀλλαχοῦ ἀπὸ τῶν αἰσθητῶν διὰ τοῦ κατ' ἐνέργειαν νοῦ τὴν ψυχὴν πορίζεσθαι εἰσηγήσατο (3)· „ἀδυνατόν τε εἶναι γέγραφε, τὸν νῦν τὸν ἡμέτερον κατὰ τὴν ἐν τῷ μετὰ „σώματος βίῳ κατάστασιν παθητῷ σώματι συνημμένον ὄντα, νοῆσαι τὶ ἐ- „νεργείᾳ, εἰμὴ ἐπιστρεφόμενον ἐπὶ τὰ φαντάσματα (4).“ Ὁ γε μὴν τῶν λοιπῶν Σχολαστικῶν ὄχλος, τὴν αἴσθησιν κρουνὸν εἶναι ἰδέας ἁπάσης διαπρεσβεύει, ϗ διακηρύττει τὸ τετριμμένον μηδὲν εἶναι ἐν τῷ νῷ, ὃ μὴ πρότερον ᾖ ἐν τῇ αἰσθήσει. Φασὶ δὲ τοῦτο οὐχ ὡς οἰόμενοι τὰς ἰδέας ἀποῤῥοίας εἶναι τινὰς, ϗ εἴδωλα τῶν διὰ τῶν αἰσθήσεων, ὡς διὰ σωλή-

---

(1) Παρ' Ἀκυν. μέρ. Α΄. ζητ. ΠΔ. ἄρθ. Δ.
(2) Μέρ. Α΄. ζητ. ΠΔ. ἄρθ. Ε.
(3) Αὐτ. ἄρθ. Δ.
(4) Αὐτ. ἄρθ. Ζ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νων, ὑπερχομένων τὸν νοῦν, ἀλλ' οὕτως ὥστε διὰ τῶν ἐν ταῖς αἰσθήσεσι κινημάτων παράγεσθαι ἐν τῷ ἐγκεφάλῳ τὰ φαντάσματα, ἅπερ εἴδη ἐγκεκολαμμένα τούτοις ἀκούει, ἐκ δὲ δὴ τούτων, δυνάμει τοῦ ἐνεργητικοῦ νοῦ, ἐκκύπτειν τὰ εἴδη, τὰ ἔκτυπά τε καὶ νοερὰ καλούμενα, ἃ καὶ ἀμέσως νοητὰ τῷ παθητικῷ νῷ καθίσταται. Δύο γὰρ ἅπαν τὸ τῶν Περιπατητικῶν στῖφος ἔθετο νόας, τὸν μὲν ἐνεργητικὸν, τὸν δὲ παθητικὸν, ὃς καὶ δυνάμει νοῦς προσείρηται· καὶ ὁ μὲν ἅπαντα τὰ νοητὰ ἀπεργάζεται, ὁ δὲ ἅπαντα τὰ νοητὰ γίγνεται, ὡς ἐκεῖνοι φασί. Διαφωνοῦσι δὲ περί τε φύσεως καὶ ἔργου τοῦ κατ' ἐνέργειαν νοῦ πρὸς ἀλλήλους οἱ Περιπατητικοὶ οὗτοι διαλεγόμενοι. Πολλοῖς γὰρ τῶν Ἀράβων ὁ ἐνεργητικὸς νοῦς οὐσία ἐστὶ νοερὰ, τῆς ἀνθρωπίνης ψυχῆς διακεκριμένη, μία δὲ καὶ μόνη ἐπὶ πᾶσιν ἀνθρώποις. Τισὶ δὲ καὶ αὐτὸς ἐστὶν ὁ Θεὸς, ὃ καὶ τῷ Ζαραβέλλᾳ ἀρέσκει (1), καὶ Γαϊετάνῳ, καὶ Ἀλεξάνδρῳ τῷ Ἀφροδισεῖ (2).

Ἀλλὰ γὰρ ἐν Ἄραψιν ἄλλοις οὐ ταῦτα δοκεῖ, ἐκ δυοῖν μερῶν συγκεῖσθαι τὴν ψυχὴν ἡγουμένοις, πράγματι διακρινομένων, οἷον ἐξ ὕλης, καὶ εἴδους, καὶ οἱονεὶ μὲν ὕλην εἶναι τὸν νοῦν τὸν παθητικὸν, οἱονεὶ δὲ εἶδος τὸν κατ' ἐνέργειαν (3). Τοῖς δὲ δὴ καθ' ἡμᾶς Σχολαστικοῖς ὁ παθητικὸς νοῦς τοῦ ἐνεργητικοῦ, οὐχ ὡς οὐσία οὐσίας, ὡς δὲ δύναμις ἀπὸ δυνάμεως διῄρηται, τοῖς μὲν περὶ Θωμᾶν πράγματι (4), τοῖς δὲ ἀμφὶ Σκότον εἰδικῶς (5), ἄλλοις δὲ τῷ λόγῳ (6).

Ἀλλὰ καὶ τὰ τοῦ κατ' ἐνέργειαν τοῦ ἔργα ὁποῖα ἄρα ἂν εἴη διαφωνεῖται. Οἱ μὲν γὰρ ἐκεῖνον ὑπειλήφασιν ἐπὶ μόνοις ἐπενεργεῖν τοῖς φαντάσμασιν, ἢ ταῦτα φωτίζοντα καὶ ἐνεργείᾳ νοητὰ καθιστῶντα, ἐπὶ δὲ τῷ παθητικῷ νῷ οὐδαμῶς, ἥτις δὴ δόξα Ἰωάννου τοῦ Βάχωνος φέρεται, καὶ κατὰ Ζαβαρέλλαν καὶ Ἀκυνάτου, καίτοι τοῖς Θωμισταῖς δοκεῖ διττῶς ἐνεργεῖν τὸν ἐνεργητικὸν νοῦν ὑπειληφέναι ἐκεῖνον, ἀμέλειτοι καὶ τὰ φαντάσματα διαυγάζοντα, καὶ τὰ ἐξ ἐκείνων ἔκτυπα νοητὰ εἴδη τῷ παθητικῷ ἐγκολάπτοντα. Οἱ δὲ τῷ Ἀφροδισεῖ

(1) Περὶ νοῦ ἀνθρ. Κεφ. Θ. καὶ Ι'.
(2) Βιβλ. Α'. περὶ ψυχ.
(3) Ζιμάρας θεωρ. ΜΑ. καὶ ἐν τῷ ΙΒ'. τῆς μεταφ. ὑπ. ΙΖ.
(4) Μέρ. Α'. ζητ. 79. ἄρθ. Δ.
(5) In Quodlibet. ζητ. ΙΒ'.
(6) Πικολόμινος Βιβλ. Α'. περὶ ἀνθρώπου ψυχ. Κεφ. ΙΒ'.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀλεξάνδρῳ ἑπόμενοι, οὐχ ὅπως ἔργον εἶναι τοῦ κατ' ἐνέργειαν νοῦ οἴονται τὸ τὰ φαντάσματα καταλαμπρύνειν, ἀλλὰ ϗ τὸ εἶδος τι ϗ μορφήν τινὰ πνευματικὴν τούτοις αὐτοῖς ἐνιέναι, δι' ἧς ϗ νοητὰ καθίςαται, ὃ ϗ τῷ Ζαβαρέλλᾳ δοκεῖ. Ὁ δὲ Σκότος ἀφθόνως τε ϗ λεπτῶς, ᾗ πέφυκε, τὰ περὶ τούτου φιλοσοφῶν, διττὸν εἶναι ϗ αὐτὸς ἔργον τοῦ κατ' ἐνέργειαν βούλεται νοῦ, τό, τε ἀφαιρεῖν ἀπὸ τῶν φαντασμάτων τὰ νοερὰ εἴδη, ϗ τὸ ἐνεργητικῶς παράγειν τὴν ἐνέργειαν τοῦ νοεῖν. Καὶ ταῦτα μὲν οἱ Σχολαςικοὶ περὶ ἀρχῆς ἰδεῶν τὰ ποικίλα, ϗ ἀσαφείας ἀνάπλεα, ἃ ϗ καταλελεχέναι ἴσον ἐςὶ ϗ ἀπελέγξαι.

Μέρος Β'. Ἡ δόξα αὕτη τὴν φυσικὴν ἐπιῤῥοὴν ὑποτίθησιν ἢ ἑκατέρωθεν, ἢ ϗ ἑτέρωθεν. Ἀλλ' ἡ τοιαύτη διδασκαλία ἀβεβαίως τε ἔχει, ϗ πολλοῖς ἀπόροις ὑπαντιάζει (Πρ. ΚΑ'.). Ἄρα κτ.

Παρὰ ταῦτα ὁ ἐνεργητικὸς νοῦς τῶν Σχολαςικῶν, ἢ μέρος ἐςὶ τῆς ψυχῆς, ἢ δύναμις, πάνυ δὲ ὀλίγοις (διὰ τὸ Α'. μέρ.) ϗ αὐτὸς ἐςὶν ὁ Θεός. Ἀλλ' οὐδὲν ἡ ψυχὴ, ὅτι μὴ ἐν ἑαυτῇ νοεῖν πέφυκεν (Πρ. ΛΑ'.) Εἴπερ ἄρα μέρος ἐςὶ ψυχῆς, ἢ δύναμις ὁ νοῦς οὗτος ὁ κατ' ἐνέργειαν, λειπόμενον ἔτι ἐςὶ τοῖς ἐκ τῶν Σχολῶν ἀναπτύξαι, τίνα δὴ τρόπον οὗτος, ἤτοι ἡ ψυχὴ, καθὸ ἐνεργεῖ ϗ διανοεῖ τὰ φαντάσματα, ἀπὸ τῶν αἰσθήσεων ϗ τοῦ ἐγκεφάλου κομίζεται, ϗ τῷ παθητικῷ νῷ, τουτέςιν ἑαυτῇ ἡ ψυχὴ προσάγει αὐτά. Ἐπεὶ δ' ἐκθέσθαι οὐκ ἐδυνήθησαν, δεῖ δὲ πρὸς τοῦτο ϗ ἑτέρου ἐνεργητικοῦ νοῦ, ἀσαφῆ τε καὶ ἀβεβαίως ἔχοντα ἡμῖν οἱ Σχολαςικοὶ προχειρίζονται. Ἐὰν δὲ ὁ Θεὸς αὐτὸς ἐςὶν (ὃ τυχὸν ϗ ἄμεινον ἔδοξαν ὑπολαβεῖν οἱ ὑπειληφότες) εἰς τοῦτο ἥκει τὸ πᾶν, τὸν Θεὸν διαυγάζειν τὰ σωματικὰ φαντάσματα, ϗ τῇ ἀνθρώπου ψυχῇ προσάγειν, διὸ μηδ' ἑτέρωθεν, ἀλλ' ἢ παρὰ Θεοῦ ἀναφύεσθαι τὰς ἰδέας, τοῦ τῇ ψυχῇ ταύτας παράγοντος, ἐξ ἀφορμῆς τῶν σωματικῶν κινημάτων. Ἀλλ' ἡ δόξα αὕτη ϗ τῶν ἄλλων τοῖς Σχολαςικοῖς πρεσβευομένων δογμάτων ἠλλοτρίωται, καὶ ὡς κατωτέρω ἀποδείξαμεν οὐδὲν οὐδὲ αὕτη ἀσφαλὲς προβάλλεται.

Πρὸς τούτοις δὲ ἐπεὶ κοινῇ οἱ Σχολαςικοὶ ἀποδέχονται, μηδὲν εἰς ἐνέργειαν ἥκειν, εἰμὴ διὰ τοῦ ἐνεργείᾳ ὄντος· ὁ δὲ ἐνεργητικὸς νοῦς οὐκ ἀεὶ ἐνεργείᾳ ἔχει, ὡς ἐκείνοις δοκεῖ, ἐκ τίνος ἄρα αἰτίου εἰς ἐνέργειαν καὶ αὐτὸς οὗτος ἀχθήσεται; ὑπὸ τῶν φαντασμάτων; ὑπὸ τοῦ Θεοῦ; ἀλλ' ὑφ' ἑαυτοῦ; Ἀλλὰ τὸ μὲν πρῶτον ἄνευ φυσικῆς ἐπιῤῥοῆς οὐκ ἂν γένοιτο, ἡ δὲ ἄχρι

τοῦδε κρυφία ἐστὶ ποιότης καὶ ἀναπόδεικτος. Τὸ δὲ ἔσχατον τῷ τεθέντι ἀξιώματι καθαιρεῖται. Τὸ δὲ μέσον εἰσάγει τῶν ἐξ ἀφορμῆς αἰτίων τὸ σύστημα, καὶ ἀλυσιτελῆ τὸν κατ' ἐνέργειαν νοῦν ἀναφαίνει.

## Σύστημα τῶν ἀμφὶ Δημόκριτον.

Ἀπὸ τῶν πραγμάτων κύφας τινὰς, καίτοι σωματικὰς εἰκόνας, ἃς εἴδωλα καὶ ἐκάλει, ἀφίπτασθαι ὁ Δημόκριτος ᾤετο, οἱονεὶ κατ' ἐπιπολὴν ἀποξεομένας, ἃς τὸν ἐγκέφαλον ὑπερχομένας, τὰς ἰδέας εἶναι ἁπασῶν, ὧν ἔχομεν ὕλην διανοήσεων (1). Παραπλήσια δὲ τούτοις ἐδίδασκε καὶ Ἐπίκουρος, τήν τε διανόησιν ἀμέλει, καθάπερ καὶ τὴν αἴσθησιν διὰ τῶν προσβαλλόντων εἰδώλων τελεῖσθαι ὑποτιθέμενος· καὶ ὁρᾶσθαι μὲν λέοντα, τούτου τῆς εἰκόνος προσπιπτούσης τῇ διανοίᾳ, ὁρᾶσθαι δὲ καὶ τὰ λοιπὰ ὡσαύτως. Διανοοῦσι δὲ Κένταυρον καὶ Σκύλλαν, καὶ τὰ τοιαῦτα τῶν ἀνυποστάτων, συμβαίνειν τὴν ἐπίνοιαν οὐ παρὰ τὰ αὐτομάτως συνιστάμενα τῶν τοιούτων ἀγάλματα, ἀλλὰ κατὰ συνδυασμὸν τῶν εἰδώλων ἀνθρώπου φέρ' εἰπεῖν καὶ ἵππου, ἐξ ὧν ἡ τοῦ Ἱπποκενταύρου ἰδέα συμπλάττεται, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως (2).

## Πρότ. ΛΓ'.

„Ἡ Δημοκρίτειος δόξα Α'. ἀντιβαίνει τῇ τῶν σωματικῶν ὄντως φύσει.
„Β'. καί τισι τῶν ἐπὶ τῆς ψυχῆς φαινομένων. Γ'. καὶ οὐδενὶ τρόπῳ τὴν τῶν
„νοερῶν ἐννοιῶν ἀρχὴν ἀναπτύσσει.

## Δεῖξις.

Μέρος Α'. Τὰ τοιαῦτα εἴδωλα φάσματα εἰσὶ τινὰ σωματικά; ἢ εἰκόνες ἐν τῷ ἀέρι, ἢ τῷ φωτὶ ἐνσχεδιαζόμεναι; ἢ οὐκ οἶδ' ὅ,τι τρίτον; Ἀλλ' εἰ μὲν τὸ πρῶτον, ἐκ πολλοῦ ἤδη τὰ σώματα εἰς τὸ μὴ ὂν ἂν κατέστη φθινύμενα, τοσούτων ἀποξεομένων αὐτοῖς ἐπιφανειῶν. Τὸ δὲ δεύτερον εἴποι τυχὸν, ὃς ἂν τὴν ῥοωδῶν σωμάτων ἀγνοῇ φύσιν, τὴν μηδενὸς σχήματος πεφυκυῖαν ἀντέχεσθαι. Τὸ δὲ τρίτον οὐδὲν ἐκφέρει. Εἶτα καὶ τίνι ἂν πιθανὸν ὅλως δόξειε, τὰ εἴδωλα ταῦτα τῇδε κἀκεῖσε πλανώμενα φέρεσθαι, μηδ' ὑπ' ἀλλήλων διαφθείρεσθαι καὶ διασκεδάννυσθαι, τοῦ ἰδίου ἐκπίπτοντα σχήματος; ἐν τοσούτοις μά-

(1) Παρὰ Πλουτάρ. περὶ Ἀρεσκόντ. Βιβλ. Δ. Κεφ. Η'., καὶ Κικέρ. περὶ τελ. Βιβλ. Α'. Κεφ. ς'.

(2). Ὅρα Λουκρέτ. Βιβλ. Δ. περὶ Φύσ. ὄντως ἔπει 726.

Ε.Υ.Γ.άτης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λιςα διαςήμασι περιϊπτάμενα, ἐν οἷς οὐκ ἔχει κινέμενα μυρία μυρίοις μὴ προσοκέλλειν ἐπαράσσοντα, ϗ συντρίβεσθαι;

Μέρος Β'. Πῶς γὰρ ἥκει ἐκ τῶν μυρίων τούτων τὸ εἴδωλον, ὅτις ἂν ἕλοιτο ἀντιληφθῆναι; ϗ παρόντων τῶν ἀγαλμάτων τῶν προβατείων, πῶς ὑπέρχεται τῷ ποιμένος νῷ βοῶν φέρ᾽ εἰπεῖν ἀγέλη, ἢ ἵππων; Εἶτα τῷ ἀγρώτῃ πόλις τε, ϗ οἰκίαι, ϗ ἀγορὰ κατὰ νοῦν παρίςανται, πόθεν; Καὶ ἐν ὕπνοις δὲ πῶς εἰσίασι τὴν ψυχὴν τὰ ξόανα ἐκεῖνα, ἀργουσῶν τῶν αἰσθήσεων, δι᾽ ὧν ὡς πυλώνων εἰσέρχεται; Παρὰ ταῦτα ϗ τίνα ἂν γένοιτο εἴδωλα τῶν ἀφῃρημένων ὄντων, οἷον Γεωμετρικῶν τινων ἀποδείξεων, ϗ ἄλλων ἔςιν ὧν θεωρημάτων; Μυρία δὲ παρὰ ταῦτα ϗ ἕτερα ἐπὶ ταῖς ἡμετέραις διανοήσεσιν ἔχει ἂν ἐπαχθῆναι, ἅπερ οὐδενὶ τρόπῳ τὰ Δημοκρίτου εἰδώλια ἀναπτύξειε.

Μέρος Γ'. Ἡ ψυχὴ οὐσία τυγχάνει ἀσώματος (Πρ. ΙΒ'.), ϗ οὐδὲν εἰμὴ ἐν ἑαυτῇ νοεῖν πεφυκυῖα (Πρ. ΛΑ'.). Ἐπεὶ δὲ οὐδὲν νοεῖ, εἰμὴ εἴδωλα (κατὰ τὴν ὑπόθ.), ἐπάναγκες ἐςὶ ταῦτα χωρεῖν διὰ τῆς ψυχῆς, ϗ τῇ ψυχῇ ἄρα φυσικῶς ἐπιρρεύσει τὸ σῶμα, τοῦτο δὴ τὸ ἀπερινόητον (Πρ. ΚΑ'.). Καὶ οἶδα μὲν ὅτι τοῖς περὶ Δημόκριτον σωματικὴ ὑποτίθεται ψυχῆς ἡ φύσις, ἀλλ᾽ οἶδα ὅτι ϗ τοῦτο σαφῶς εἶναι δείκνυται ψευδές· καί γε τῆς ἀρχῆς ἀναιρουμένης, αἴρεται δήπου ϗ τὸ ἐξ ἐκείνης. Ἀλλὰ γὰρ κἂν ἐκ περιουσίας δῶμεν ϗ σωματικὴν τὴν ψυχὴν τυγχάνειν, ἡ τῶν εἰδώλων τούτων οὐ χαλεπῶς περιτρέπεται δόξα. Ἢ γὰρ λεπτή τις ἔςαι πάνυ οὐσία ἡ ψυχὴ δι᾽ ὅλου κεχυμένη τοῦ σώματος, ἢ γοῦν ἡ δύναμις ἐκείνη ἡ Δικαιάρχειος. Ἀλλ᾽ εἰ μὲν τὸ πρῶτον, ἐφ᾽ ᾧ νοήσῃ τὰ ἀγάλματα ταῦτα, δέον ἐν ἑαυτῇ ὑποδέξασθαι ϗ διαχωρηθῆναι ὑπ᾽ αὐτῶν σῶμα ὑπὸ σώματος, ὅπερ οὐκ ἔςιν. Εἰ δὲ τὸ ἕτερον, ἐνεισιόντα δὴ ταῖς γε αἰσθήσεσι ϗ τῷ ἐγκεφάλῳ, ϗ συμμιγνύμενα, ϗ συνυφαινόμενα, ἔσονται ἀντιλήψεις, κρίσεις, ϗ συλλογισμοί, ὅπερ ἥκιςα ἐςὶν ἀληθοῦς ἐχόμενον. Οὐδὲ ἄχρι τοῦ πιθανοῦ ϗ εἰκότος ἄρα ἡ Δημοκρίτειος δόξα περὶ ἰδεῶν ἀρχῆς ἥκει.

## Σύςημα τὸ κατὰ Λώκιον.

Ἰωάννης Λώκιος ἐν τῷ περὶ διανοίας ἀνθρώπου ἁπάσας ἐπείγεται δεῖξαι „τὰς ἰδέας ἀπὸ τῶν αἰσθήσεων μελέτῃ τε ϗ εἰκασίᾳ ἀναφύεσθαι, μηδὲ εἶναι „ἀναγκαίας ὅλως τὰς ἐμφύτους ἰδέας, ἃς ϗ φαντιώντων ἀνδρῶν πλάσματα „καλεῖν χαίρει.“ Ἰδέα μὲν γὰρ αὐτῷ ἐςὶ, πᾶν ὅ,τι τῇ διανοίᾳ ἀντίκειται

„ἤδη νοῦσῃ, ὃ ϗ φάντασμα, ϗ ἔννοια, ϗ εἶδος ἀκύει. Καὶ ἀλλαχῦ ὅ,τι δή-„ποτε ἀντιλαμβάνεται ἐν ἑαυτῇ ἡ ψυχὴ, πᾶσά τε ἀντίληψις ἐν τῷ νῷ οὖ-„σα, ἤδη νοῦντι." Δοκεῖ δὲ μηδὲ τὰς ἰδέας τῶν ἀντιλήψεων διακρίνειν οὗ-τος, οἷα δὴ ϗ περὶ Ἀρνάλδυ ἐλέγομεν, ἀλλ' ἢ μόνον ἐκ τῆς σχέσεως ὑποτι-θέμενος τὸ διάφορον. Ἐπεὶ δὲ τὴν ψυχὴν αὐτὸς δύναμίν τε ϗ ἐντελέχειαν τῦ σώματος ἐτίθετο, ὡς ἐν ἄλλοις εἴρηται, τὰς δέ τοι ἰδέας κινήσεις ἀπεφαίνε-το τῶν αἰσθήσεων ϗ τῦ ἐγκεφάλυ, αἳ αὗται (συμφωνεῖν ἑαυτῷ προελομέ-νῳ) ἔσονται αὐτῷ ϗ ἀντιλήψεις. Τοιγαρῦν ἡ ψυχὴ ὁποιαδήποτ' ἂν εἴη, πῇ μὲν τῇ παρὰ τῶν αἰσθήσεων ἐνεργείᾳ, πῇ δὲ ϗ τῇ παρ' ἑαυτῆς κινήσει ἁπά-σας παράγει ἑαυτῇ τὰς ἰδέας. Περὶ γῦν φύσεως τῆς ψυχῆς ϗ τῶν ἰδεῶν, ἐνταῦθα πρὸς Λώκιον ὐ διαφερόμεθα· ἅλις γὰρ περὶ τυτυῒ ἠγωνίσμεθα ἀνω-τέρω. Τὴν ἄρα δόξαν περὶ ἰδεῶν ἀρχῆς, τὴν ἤδη καθ' ἡμᾶς ὑπὸ πολλῶν ἐγ-κρινομένην, πειρασόμεθα βασανίσαι.

## Πρότ. ΛΔ'.

„Ἡ κοινοτάτη δόξα, ἡ τὰς ἰδέας ἀπὸ τῶν αἰσθήσεων εἶναι διαπρεσβεύυ-„σα, δι' ὧν ἔπειτα ὁ νῦς εἰκασίᾳ τε ϗ συλλογισμῷ ϗ ἄλλας ἑαυτῷ παρά-„γει, Α'. τῇ τε ἐν ἡμῖν αὐτοῖς συνειδήσει, ϗ τοῖς ἐπὶ τῆς ἀνθρώπυ φύσεως „φαινομένοις προσήκυσα εἶναι δοκεῖ. Β'. Ἀλλ' ὐ δοκεῖ καὶ ἀληθεύειν δύνα-„σθαι, εἰμὴ τῆς φυσικῆς ἐπιῤῥοῆς ὑποτιθεμένης, ἢ γῦν τοιαύτης εἶναι λε-„γομένης τῆς ψυχῆς τὴν φύσιν, οἵαν Δικαίαρχος ϗ Ὡββέσιος ἀπισχυρίσαν-„το εἶναι. Γ'. Ἐξ οὗ ϗ τὸ ἀβέβαιον τῆς δόξης ϗ ἐπισφαλὲς ἕπεται.

## Δεῖξις.

Μέρος Α'. Πρὸ πάντων σαφῶς ὕτω ϗ ἐναργῶς σφίσιν αὐτοῖς ἅπαντες σύνισμεν, διὰ τῶν αἰσθήσεων τὰ σωματικὰ κατὰ νῦν ἐπιδέχεσθαι τὴν ψυ-χὴν, ὥστε θᾶττον ἄν τις ἢ τῦτο ἀπειπεῖν, πεισθείη γε μηδὲ εἶναι τὴν ἀρ-χὴν ἄϋλον φύσιν. Τὸ δὲ λέγειν ἀπατηλὰς εἶναι κἂν τύτῳ τὰς αἰσθήσεις, τῇ Πυῤῥωνος μανίᾳ ἐστὶν ἐμβάλλειν πειρᾶσθαι ἡμᾶς. Εἴτι γὰρ ϗ ἔχει αἴσθη-σις ἐναργῶς εἰδέναι, ἓν τῦτο μάλιστα ἂν εἴη, τὸ δι' αὐτῶν πορίζεσθαι ἡ-μᾶς τῶν σωματικῶν ὄντων τὰς πρωτίστας ἰδέας. Καὶ τῦτο δὲ ὐχ ἧττον σαφῶς εἰδέναι καθ' ἑαυτὰς δυνάμεθα, ὅτι διὰ τῶν πρώτων τυτωνὶ ἰδεῶν καὶ ἄλλας παραπλησίας συνθέτυς παράγειν πεφύκαμεν, ἢ κἀκ τύτων ἀποτελεῖν τὰς ἀ-φῃρημένας. Β'. Ἰδέαν ὅλως ἐναργῶς τε ϗ διακεκριμένως τῇ διανοίᾳ ἐπιλάμ-ψυσαν ὐκ ἔχομεν τῶν ἀπωτάτω τῶν αἰσθήσεων, καθάπερ ϗ τῶν αἰσθήσεσιν

ὑποκειμένων ἔχειν πεφύκαμεν. Γ'. Ἀριθμὸς πλείων ἰδεῶν πάρεστι τοῖς μᾶλλον ταῖς αἰσθήσεσι χρωμένοις, τοῖς δὲ ἧττον ἐλάσσων. Δ'. οἱ τινὸς ἀμοιρήσαντες τῶν αἰσθήσεων, ἀγνοοῦσι τε τὰ ἐκείνῃ προσήκοντα αἰσθητὰ, καὶ οὐδὲ πεφύκασιν οὐδεμιᾷ μεθόδῳ ταῦτα παιδευθῆναι. Ε'. Δι' ὀργάνων τινῶν, οἷς αἱ αἰσθήσεις διοξύνονται, καινὰς ἰδέας προσκτώμεθα, ὧν, ἐκείνων ἄνευ, πάντη ἂν ἐτελοῦμεν ἄμοιροι. ϛ'. Κατὰ τὸ μᾶλλον καὶ ἧττον τῆς προσούσης αἰσθήσεσι τελειότητος μᾶλλον ἢ ἧττον εὐκρινῶς τὰ σωματικὰ γινώσκομεν. Τὸ δ' οὐκ ἂν ἦν, εἰ μηδὲν ἐπὶ τὴν διάνοιαν ἀπὸ τῶν αἰσθήσεων ἀνεπέμπετο. Ζ'. Ἀμβλυνομένων τῶν αἰσθήσεων, ὡς ἐπὶ τοῖς πεπηρωμένοις αὐτὰς, ἢ τοῖς παρήλιξιν, ἡ τῶν αἰσθητῶν ἡμῖν ἀπομειοῦται ἐπίγνωσις· ἐχρῆν δὲ οὐχὶ, εἰ τούτων ἡ γνῶσις μὴ τῶν αἰσθήσεων εἴη ἀπηρτημένη. Η'. Τηνάλλως ἂν ἦσαν δεδομέναι τοῖς ἀνθρώποις αἱ αἰσθήσεις, εἰ μὴ δι' αὐτῶν ἡ τῶν ἔξω γνῶσις ἐπὶ τὴν ψυχὴν διαπορθμεύεσθαι ἔμελλεν. Θ'. Ἐφ' ᾧ τ' ἄλλα παρῶ, ἐκ μόνης ἀφθόνως τῆς ὀπτικῆς ἀποδείκνυται, μὴ ἄλλοθεν ὅτι μὴ δι' ὀφθαλμῶν τὰς χρωμάτων ἡμᾶς καὶ σχημάτων ἰδέας ἐπιδέχεσθαι ἔχειν· ἡ γὰρ τοῦ ὀφθαλμοῦ κατασκευὴ πᾶσα καὶ διοργάνωσις ἐπὶ τὴν τῶν ἐκτὸς ὅρασιν ἀφορᾷ. Αὐτὸ τοῦτο δείκνυσι καὶ ὤτων κατασκευὴ πρὸς ἤχων ἀντίληψιν, καὶ τῶν ἄλλων αἰσθητηρίων πρὸς τὰ ἴδια ἀντικείμενα. Τοιγαροῦν (μυρία γὰρ ὅσα ἐπαχθῆναι δυνάμενα παρίημι) ἡ Λωκίου δόξα, ἥτις καὶ ποτὲ κοινῇ τοῖς τε Περιπατητικοῖς καὶ Ἐπικουρείοις διεπρεσβεύετο, καὶ καθ' ἡμᾶς ἀνὰ πᾶσαν τὴν Εὐρώπην τοὺς πλείονας προσηγάγετο, καὶ τῇ ἐνδοτέρᾳ συνειδήσει ἱδρύεται, καὶ τῇ ἐναργείᾳ τῶν αἰσθήσεων βέβηκε, καὶ τοῖς ἐπὶ ἀνθρώπων φύσει φαινομένοις ἐστὶ συνᾴδουσα.

Μέρος Β'. Ἐπεὶ οὐδὲν ἡ ψυχὴ, εἰμὴ ἐν ἑαυτῇ νοεῖν πέφυκεν (Πρ. ΔΑ'.), ἐὰν ἀπὸ τῶν αἰσθήσεων αἱ ἰδέαι τὴν ἀρχὴν ἔχωσιν, οὐκ ἂν ἀντιληπταὶ γένοιντο, εἰμὴ εἰς αὐτὸν δὴ τὸν νοῦν εἴσω γενόμεναι. Τοῦτο δὲ γένοιτ' ἂν ἄλλως οὐδαμῶς, εἰμήγε τῆς φυσικῆς ἐπιῤῥοῆς ὑποτιθεμένης, ἢ γοῦν τοιαύτης εἶναι λεγομένης τῆς ψυχῆς τὴν φύσιν, οἵαν ἀπισχυρίσαντο Δικαίαρχος καὶ Ὠββέσιος, ὡς δῆλον.

Μέρος Γ'. Ἐὰν ἀπὸ τῶν αἰσθήσεων αἱ ἰδέαι προήκωσιν, οὐκ ἂν ἀντιληπταὶ γένοιντο, εἰμὴ τῆς φυσικῆς ἐπιῤῥοῆς ὑποτιθεμένης, ἢ τῆς κατὰ Δικαίαρχον καὶ Ὠββέσιον τῆς ψυχῆς φύσεως (διὰ τὸ Β'. μέρ.). Τὸ γεμὴν δεύτερον ἄτοπον (Πρ. Θ'.). Τὸ δὲ πρῶτον ἀβέβαιον, ἵνα μή τι καὶ πλέον εἴπω (Πρ. ΚΑ'.). Καὶ τοῦτο ἄρα οὐκ ἀσφαλῶς ἐστιν ἔχον.

## Σχόλιον.

Οὐδὲν οὖν θαυμαστὸν εἰ Λωκίῳ ἡ τοιαύτη δόξα ἀρέσκει, τῷ περὶ τὴν ψυχῆς φύσιν τῷ Δικαιάρχῳ συνᾴδοντι. Τὸ γεμὴν καὶ τοῖς Σχολαστικοῖς, καί τοι τοῦ ἀύλου ἐπὶ ψυχῆς ἀντεχομένοις, τῷ ὄντι θαυμαστόν. Προσοχῆς οὖν χρεία ἐπὶ τούτου· οἱ γὰρ μάλα τῇ ἐκ τῶν αἰσθήσεων μαρτυρίᾳ καταθαῤῥοῦντες, εἰς πολλὰς περιπεσόντες ὤφθησαν ἀπάτας. Εἰκὸς δὲ μᾶλλον αἰσθήσεσιν ἀπιστεῖν, ἢ κινδυνεύειν σωματικὴν δοξάζειν τὴν ψυχήν, ἧς τὸ ἀσώματον λόγοις ἀποδεικτικοῖς, ὡς ἀνωτέρω, ἐναργεστάτοις κατασκευάζεται. Ἐπεὶ γὰρ αἱ ἰδέαι εἴδη εἰσὶ τῶν ὄντων παραστατικά, ὁ ὑπολαμβάνων κινήσεις εἶναι αὐτὰς τὰς ἐν αἰσθήσεσι καὶ ἐγκεφάλῳ (ἄλλο γὰρ οὐδὲν ὑπὸ τῶν ἀντικειμένων ἐπισυμβαίνει αἰσθήσεσι), τὰς κινήσεις ταύτας παραστατικὰς εἶναι τῶν ὄντων, καὶ τούτοις παρεμφερεῖς δῆλος ἐστὶν ὅτι οἴεται. Ἀλλὰ τίς ἂν εἰμὴ παίζων ἐπιεικῶς τοῦτο φήσειεν; Ὡς ἤν γε φαῖεν, μὴ μορφὰς εἶναι καὶ ἰδέας κινήσεις ταύτας δὴ τὰς κινήσεις, παραιτίους δὲ τῶν ἰδεῶν γίνεσθαι, μᾶλλον ἔτι ἀπίθανα φθέγξονται. Ἐν γὰρ τῇ αἰτίᾳ ἀνάγκη πᾶσα τὸν ἀποχρῶντα τοῦ αἰτιατοῦ περιέχεσθαι λόγον. Ἆρ' οὖν αἱ κινήσεις ἐκεῖναι τὸν λόγον τῆς πραγματιώδους φύσεως (τοῦτο γὰρ ἰδέα) τοῦ νοητοῦ περιέξουσι; Πῶς δ' ἂν εἴη τῇ σχήματος, καὶ θέσεως, καὶ τόπου μεταβολῇ, ἣν μεταβάλλει κινούμενα τὰ αἰσθητηρίων καὶ ἐγκεφάλου μόρια, τὸν τοιοῦτον λόγον κεῖσθαι; Διεγείρεται, φασὶν, ὑπὸ τῶν τοιούτων κινημάτων ὁ νοῦς, καὶ τὰς τοιαύτας ἰδέας εὖ τε καὶ ἐπισταμένως ἀποτελεῖ ἑαυτῷ, δι' ὧν ἂν νοήσειεν. Ἀλλὰ πρῶτον ἰδέτωσαν, μὴ καὶ σημαντικὸν τοῦ μηδενὸς ᾖ τοῦθ' ὃ φασὶν, ὅτι διεγείρεται, εἰ μηδέ τις ἐστὶν ἐπιῤῥοὴ φυσικὴ ψυχῆς μεταξὺ καὶ σώματος. Εἶτα εἰπάτωσαν, ἐπειδὰν ὁ νοῦς διεγείρεται, πότερον ἐστί τι τὸ ἀπὸ τοῦ σώματος ἐπ' αὐτὸν μεταβαῖνον, ἢ μή; Ἀλλ' εἰ μὲν, σωματικὸν ἔσται πάντως. Τί γὰρ καὶ ἕτερον, εἰμὴ δέῃ αὖθις ἐπὶ τὴν σκηνὴν τοῦ κατ' ἐνέργειαν νοῦ ἀναδραμεῖν; Πῶς οὖν τοῦτο ἐξῆ, σωζομένου ἐπὶ ψυχῆς τοῦ ἀσωμάτου; Ἢν δὲ μή, οὐδὲ διεγείρεται ἄρα. Ἡ δὲ ψυχὴ ἀφ' ἑαυτῆς τῶν ἀγνοουμένων μαντικῶς πως παράγει τὰ εἴδη. Ἐξ οὗ δῆλον, καὶ ὅπως ἀσαφῆ τε καὶ μαχόμενα ἐκδιδάσκουσιν οἱ, τεθέντων τῶν κινημάτων τοῦ ἐγκεφάλου ὑπὸ τῶν ἐκτὸς, τὴν ψυχὴν παρ' ἑαυτῆς τὰς τῶν ὄντων ἰδέας παράγειν εἰσηγούμενοι, ἣ δόξης εἴχεν Ἀρνάλδος· τοῦτο γάρ ἐστι τὸ αἰτιατόν τι τελεῖσθαι λέγειν ἄνευ λόγου τοῦ ἀποχρῶντος.

## Σύςημα τὸ κατὰ Μαλεβράγχιον.

Νικόλαος ὁ Μαλεβράγχιος βιβλίῳ Γ'. τῶν περὶ ἐξετασμῦ ἀληθείας σεσημείωκεν, ἐπὶ ἓξ κεφάλαια ἁπάσας τὰς περὶ ἀρχῆς ἰδεῶν δόξας ἔχειν ἀνάγεσθαι. Α'. Τῆς ψυχῆς ἁπάσας τὰς τῶν δυναμένων γινώσκεσθαι τελειότητας, εἰδικῶς, ἢ καθ' ὑπερέχοντα λόγον περιεχύσης. Β'. Εἰδώλων ἀπὸ τῶν ἐκτὸς ὄντων, παραπλησίων τύτοις ἐκπηγαζόντων, ϗ διὰ τῶν αἰσθήσεων τὴν ψυχὴν εἰσιόντων. Γ'. Τῆς ψυχῆς δύναμιν ἐχύσης ἑαυτῇ τὰς ἰδέας παράγειν, τὰς ἀντιςοιχύσας τοῖς σωματικοῖς κινήμασι. Δ'. Τῦ Θεῦ ἅμα δημιυργηθείσῃ ἑκάςῃ ψυχῇ, ἁπάντων τῶν ὄντων, ἢ τὐλάχιςον ὧν μέλλει ἀντιληφθῆναι, τὰς ἰδέας ἐγκολάπτοντος. Ε'. Ἐξ ἀφορμῆς τῶν σωματικῶν κινήσεων διηνεκῶς ἐκείνας τῦ Θεῦ ἐν ἡμῖν παράγοντος. ϛ'. Ἑνυμένης αὐτῷ τῷ Θεῷ, ἐν ᾧ ἔχει ἐποπτεύειν τὰ πάντα, πολλῶν ἕνεκα τὰς πέντε προτέρας ἀποδιοπομπεῖται. Τὴν μὲν Α'. ὡς προδήλως ψευδομένην. Τὴν δὲ Β'. ὡς οὐδὲ νῷ ληπτὴν, καὶ πλείςων δυσκολιῶν γέμυσαν. Τὴν δὲ Γ'. ὡς τὴν ψυχὴν τῷ Θεῷ ἰσοφαρίζυσαν τῇ δημιυργικῇ ἐκείνῃ τῶν ἰδεῶν δυνάμει. Τὴν δὲ Δ'. ὡς μὴ κατὰ τὴν πεπερασμένην τῆς ψυχῆς φύσιν ὂν, τὸ ἐν αὐτῇ τὰ τοιαῦτα ἄπειρα παραςατικὰ ὄντα περιέχεσθαι. Τὴν δὲ Ε'. ὡς μὴ ἀξιοπρεπῆ τῷ Θεῷ τυγχάνυσαν, τῷ τὴν ἐπιτομωτέραν τε ϗ ἁπλυςέραν ἐπὶ τῶν αὐτῦ ἐνεργημάτων ἐς ἀεὶ βαίνοντι. Καὶ μένει ἄρα αὐτῷ ἡ ϛ'. ἅπαντα ἡμᾶς ἐν τῷ Θεῷ αὐτῷ καθορᾶν ἐκπαιδεύυσα.

Ταῦτα τοιγαρῦν ἐμπεδώμενος, ἀνέδραμεν ἐπὶ τὸν ἐν τῷ Θεῷ νοερὸν κόσμον, τὸν τὺς λόγυς ϗ τὰς ἐννοίας ἁπάντων, ἤτοι τὰς ἰδέας Πλατωνικῶς εἰπεῖν περιέχοντα. Ἡ γὰρ ψυχὴ ὐσιωδῶς τῷ Θεῷ ἑνυμένη, ὐκ ἔχει μὴ καθορᾶν ἐν αὐτῷ ὅσα δήποτε ϗ νοεῖ. Ὅτι δὲ τῷ Θεῷ ἥνωται ἡ ψυχὴ, ϗ μᾶλλον ἢ τῷ σώματι, ἀναμφισβήτητον αὐτῷ δοκεῖ. Ἔςι γὰρ χώρα τῶν πνευμάτων ἡ ἄπειρος πνευματικὴ ἔκτασις τὸ Θεῖον, ὥσπερ ἦν ϗ τὸ διάςημα χώρα ἐςὶ τῶν σωμάτων· καὶ μᾶλλον τῷ ἀπείρῳ Θεῷ αἱ ψυχαὶ, ἢ τῷ διαςήματι ἑνῦται τὰ σώματα. Ἐφ' οἷς ϗ ἡ τῆς ψυχῆς μετὰ τῦ σώματος ἕνωσις ὐδὲ τῇ ψυχῇ ὐσιώδης ἐςὶν, ὐδὲ γῦν τῷ σώματι· ἡ δὲ τῆς ψυχῆς σὺν τῷ Θεῷ ὐσιώδης, οὗ τεκμήριον, ὅτι ἐκείνης μὲν διαλειπύσης, ὐδὲν τῆς ψυχῆς ἀφαιρεθήσεται, διασπασθῆναι δὲ τῦ Θεῦ ψυχὴ οὐ πέφυκε, μὴ εἰς τὸ μὴ ὂν τελευτήσασα. Εἶτα ϗ τὴν ἀπὸ τῶν ἱερῶν γραμμάτων μεταπέμπεται συμμαχίαν, ϗ τὸ ψαλμικὸν προχειρίζεται, ὁ διδάσκων τὸν ἄνθρωπον γνῶσιν (1).

(1). Ψαλ. ϟγ'. 10.

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΕΥΝΩΝ ΓΛΩΣΣΑΣ ΑΘΗΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΑΝΤΙΚΑ ΙΩΑΝΝΙΝΑ 2006

Καὶ τὸ τοῦ Παύλου (1) *οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχει, ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.* Καὶ τὸ τοῦ Ἰακώβου, *ὁ Θεὸς ἐστὶν ὁ πατὴρ τῶν φώτων* (2), ὁ τοῖς φιλοσοφοῦσιν οὐ γινώσκουσι φανερῶν (3)· *τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον* (4). Καὶ τῇ παρὰ τοῦ ἱεροῦ δὲ Αὐγουστίνου μαρτυρίᾳ τὴν οἰκείαν δόξαν ἐν πολλοῖς ἀσφαλίζεται, τοῦ ἐν ὅλῃ τῇ βίβλῳ περὶ διδασκάλου ἀποδεῖξαι ἐπειγομένου μηδὲν ἐξεῖναι τῷ ἀνθρώπῳ μαθεῖν ἀπὸ τῶν αἰσθήσεων, οὐδὲ ἄλλοθέν ποθεν, εἰμὴ ἀπὸ Θεοῦ, τοῦ ἐν βάθει καρδίας ἡμῖν φθεγγομένου καὶ ἐκδιδάσκοντος ἡμᾶς, ὡς ἀληθὲς εἶναι τὸ εἰρημένον, *εἷς ἐστὶν ὁ διδάσκαλος ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς* (5). Καὶ Βιβλ. Α΄. τῶν μονολογιῶν, *ὁ Θεὸς τὸ νοητὸν φῶς, ᾧ, καὶ ὑφ᾽ οὗ, καὶ δι᾽ οὗ νοερῶς πάντα φωτίζεται*, καὶ ἐν τοῖς περὶ τριάδος, καὶ ἐν τοῖς περὶ ἐξομολογήσεων.

Εἴτις οὖν ἀπὸ τῆς Πλάτωνος ἀκαδημίας ἐξεῤῥυηκέναι τὴν δόξαν ταύτην φήσειεν, οὐκ ἂν ἁμάρτοι. Καὶ γὰρ Ἰάμβλιχος, καίτοι μετέχειν τοῦ διανοητικοῦ καὶ ἀρχετύπου κόσμου τὰς ψυχὰς παρὰ Θεοῦ εἰσηγούμενος, ἐν ᾧ καὶ πάντα ἡμῖν νοεῖσθαι, ἀλλ᾽ οὐδὲν ἧττον πανταχοῦ ἀποφαίνεται, νοερόν τι φῶς, ὅπερ ἐστὶν ὁ Θεὸς, ἡμῖν παρεῖναι, ἐν ᾧ τὰ πάντα γινώσκομεν (6). Τῷ δὲ τοιούτῳ φωτὶ μηδαμῶς παράγεσθαι τὰς ἰδέας διδάσκει, ἀλλὰ ἐν τῷ κόσμῳ ἐνυφεστώσας τῷ νοερῷ ἀποκαλύπτεσθαι κατὰ Πλάτωνα (7). Τούτοις γὰρ αἱ τῶν ὄντων ἰδέαι αἰώνιοί τε εἰσὶ καὶ ἐνυπόστατοι.

Καὶ Πλωτῖνος δὲ δαψιλῶς περὶ ἑνώσεως τῆς ψυχῆς μετὰ τοῦ Θεοῦ διείλεκται (8) *τὴν ψυχὴν ἐν τῇ θεωρίᾳ τοῦ ὄντος* (ἤτοι τοῦ Θεοῦ κατὰ τὴν τῶν Πλατωνικῶν λῆψιν) *ὅλην ἐνασχολεῖσθαι* φάσκων· καὶ προστίθησι δ᾽ ὅτι καὶ *τὸ ὂν, ᾗ νοεῖται ὑπὸ τῆς ψυχῆς, δίδωσιν ἅμα αὐτῇ καὶ τὸ νοεῖν καὶ τὸ εἶναι.* Ταῦτα δὲ δήπου καὶ τῇ Χαλδαίων διδασκαλίᾳ ἐστὶ παραπλήσια. Οὐμὴν ἀλλ᾽ οὐ φημὶ μηδὲν καὶ παρ᾽ ἑαυτοῦ τὸν Μαλεβράγχιον τού-

---

(1) *Πράξ. ΙΖ. ΚΔ.*
(2) *Κεφ. Α.* 17.
(3) *Πρὸς Ῥωμ. Κεφ.* Α΄. ΙΘ΄.
(4) *Ἰωάν.* Α. Θ.
(5) *Ματθ. ΛΓ.* 10.
(6) *Τμ.* Γ΄. *Κεφ. ΙΘ΄. καὶ αὐτ. Κεφ. Γ΄. καὶ Τμ.* Α΄. *Κεφ. Β΄. καὶ Θ΄.*
(7) Αὐτ. (8) *Βιβλ. Α΄. Κεφ. Δ.*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοις προσεξευρεῖν καὶ προσεπιθέσθαι· ἄλλως γὰρ εἰ τῇ φαντασίᾳ τεκμηριώσῃ ἐφέπεσθαι βελοίμεθα, καὶ πρὸς αὐτὸν Ὅμηρον ὡς ἐπὶ πρῶτον δημιεργὸν τε συςήματος τεδε ἀναδραμέμεθα· εἴρηται γὰρ κἀκείνῳ ἔςιν ὅπε τῶν ἐπῶν (1), τὰς ἀνθρώπων ψυχὰς πρὸς τὸ νοεῖν ὁσημέραι καὶ ὥραι ὑπὸ Θεε διατίθεσθαι καὶ ἄγεσθαι.

„Τοῖος γὰρ νόος ἐςὶν ἐπιχθονίων ἀνθρώπων.

„Οἷον ἐφ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.

Κατὰ μὲν οὖν τε Μαλεβραγχίε συςήματος γέγραφε καὶ Ἀρνάλδος ἐν τῷ περὶ ἀληθῶν καὶ ψευδῶν ἰδεῶν, ᾧ καὶ Μαλεβράγχιος ἀπήντηκεν ἔτει αχπδ. ἐν Ῥοτεροδάμῳ, καὶ Πέτρος Ποϊρέτος, καὶ Λώκιος, καὶ Γεώργιος Πρίτιος ἐν τῷ περὶ ἐνθεσιασμε τε Μαλεβραγχίε. Οὐδεὶς δὲ ὃν ἂν εἰδείην τε δόγματος τέτε προέςη.

## Πρότ. ΛΕ'.

„Τὸ Μαλεβραγχίε σύςημα Α'. λόγοις νηπιώδεσιν ἐπῳκοδόμηται. Β'. „ἀβέβαιον ἐςί. Γ'. καὶ πρὸς ἑαυτὰ διαςασιάζον. Δ'. καὶ ἀτόπων πολλῶν „ἐχόμενον.

## Δεῖξις.

Α'. Μέρος. Ἐπῳκοδόμηται γὰρ λόγοις τε καὶ μαρτυρίαις. Τῶν δὲ λόγων Α'. ὅτι ἐσιωδῶς ἥνωται ὁ νες τῷ Θεῷ. Β'. ὅτι ἐδὲ τῷ ἄλλῳ συςήματι ἡ τῶν ἰδεῶν φύσις καὶ ἀρχὴ ἔχει κατανοεῖσθαι. Τὸ μὲν οὖν πρῶτον ἕτως ἀσθενὲς, ὡς καὶ Μαλεβραγχίῳ αὐτῷ δόξαι μὴ ἐξαρκεῖν τὴν ἕνωσιν ταύτην πρὸς νόησιν, χρείαν δὲ εἶναι περαιτέρω τε τὸν Θεὸν τῇ ψυχῇ τὰ νοητὰ ἀποκαλύπτειν. Ἡ γὰρ ἕνωσις ἢ κατ' ἐσίαν, ἢ κατ' ἐνέργειαν ἔςαι. Ἡ μὲν οὖν ἐκ ἀπόχρη ἄνευ τῆς δευτέρας πρὸς νόησιν· τεθεῖσα δὲ μέρος, ἢ διάθεσιν Θεε τὴν ψυχὴν ἀναφαίνεται, ὅπερ ἐδ' ἂν αὐτὸς ἀνέξαιτο, ἀτοπώτατον ὂν (Πρ. ΙΘ'.). Ἡ δὲ κατ' ἐνέργειαν ἕνωσις τὴν ψυχὴν τῷ Θεῷ συνάπτει, οἷα δὴ τῇ τῶν ἰδεῶν καὶ τε ἐν τῷ Θεῷ φωτὶ κοινωνίᾳ πάντα νοεσαν, ὅπερ ἐςὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, καὶ τἀσαφὲς ἐκ τε ἀσαφες πειρᾶσθαι δεικνύειν. Οὐχ ἧττον δὲ νηπιώδης καὶ ὁ δεύτερος λόγος. Α'. γὰρ τὰ λοιπὰ πέντε συςήματα λόγοις πιθανοῖς μὲν ἴσως ἀπελέγξαι ἐπειράσατο Μαλεβράγχιος, ἀποδεικτικοῖς δὲ ἐδαμῶς. Β'. καὶ λόγος ἐςὶν οὗτος, ἧ φασὶν, ἐ δι' ἀγνοίας· ἐ γὰρ ὅτι αἱ τῶν

(1) Ὀδυσσεία ΙΔ.